τῇ ἀγορᾷ τραφείην. καὶ τὰ ἐκ παιδὸς ἐπεκαλούμην ἐπι- A τηδεύματα συλλαβέσθαι μοι εἰς τὸν ἀγῶνα τὸν πρὸς Κλέωνα.

Φωνήν τ' ἀναιδῆ. ταῦτα φροντίζοντί μοι,
Ἐκ δεξιᾶς ἀπέπαρδε καταπύγων ἀνήρ.
Κἀγὼ προσέκυσα, κᾆτα τῷ πρωκτῷ θένων,
Τὴν κιγκλίδ' ἐξήραξα, κἀναχανὼν μέγα
Ἀνέκραγον, ὦ βουλή, λόγους ἀγαθοὺς φέρων,
Εὐαγγελίσασθαι πρῶτον ὑμῖν βούλομαι.
Ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη,
Οὐ πώποτ' ἀφύας εἶδον ἀξιωτέρας.
Τῶν δ' εὐθέως τὰ πρόσωπα διεγαλήνισεν,
Εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια, κἀγὼ φράσα
Αὐτοῖς ἀπόρρητον, ποιησάμενος ταχύ,
Ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,
Τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρύβλια.
Οἱ δ' ἀνεκρότησαν, καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
Ὁ δ' ὑπονοήσας ὁ Παφλαγών, εἰδὼς ἄρα
Οἷς ἥδεθ' ἡ βουλὴ μάλιστα ῥήμασι,
Γνώμην ἔλεξεν, ἄνδρες ἤδη μοι δοκεῖ,
Ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰσηγγελμέναις,
Εὐαγγέλια θύειν, ἑκατὸν βοῦς, τῇ θεῷ.
Ἐπένευσεν εἰς ἐκεῖνον ἡ βουλὴ πάλιν.

*Os afferte impudens. Cogitanti isthæc mihi,*
*Cinædus à dextra pepêdit illicò:*
*Et ego adoraui, & cancellarum ianuam*
*Natibus pulsaui, effregique: & quàm maximo*
*Hiatu exclamaui: ô senatus, fero bona*
B *Verba: & lætum volo vobis dicere nuncium.*
*Ex quo bellum abruptum nobis, haud vnquam ego*
*Preciosiores vidi apuas. Tum protenus*
*Senatorum vultus serenos conspicor:*
*Et illi ob lætum me coronant nuncium.*
*Dixi autem pleraque illis occultè: & statim*
C *Effeci, vt multas apuas vno obolo emerent,*
*Et opificum patellas comprehenderent.*
*Illi autem applausere, intuiti aperto ore me:*
*Hîc suspectum me habebat Paphlago: & quia*
*Videbat, quæ senatui potissimùm*
*Grata oratio, mox protulit sententiam:*
*Viri Athenienses, nunc videtur mihi bonas*
*Ob ærumnas, quæ nunciatæ sunt mihi,*
D *Deæ immolandam Hecatomben, lætum nuncium.*
*Rursum senatus ei tunc annuit. Et ego*

Σχόλια. Φροντίζοντί μοι] εὐχομένῳ καὶ μεριμνῶντι. Ἀπέπαρδεν] οὕτως Ἀττικοὶ τὸ πορδὴν ἀφεῖναι. παρεῖλε γὰρ τοῦτο γέλωτος χάριν. καταπύγων δὲ εὐρύπρωκτος. Προσέκυσα.] προσεκύνησα ὥσπερ σημείου τινὸς δοθέντος, ἰστέον μέντοι ὅτι γέλωτος χάριν προσείληφε ταῦτα. Τὴν κιγκλίδ' ἐξήραξα.] τὴν θύραν. τὸ κάγκελον τοῦ δικαστηρίου. ἰδίως γὰρ τὰς διπλᾶς θύρας, οὕτω κλητέον. ἅστινας δικλίδας φασίν, ἡ κιγκλὶς ἰδίως ἡ ὀπή, δι' ἧς ἡ κλεὶς πέμπεται. Ἐξήραξα] ἀνέῳξα. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. θαρσήσας φησὶ τῷ δοθέντι σημείῳ, διάρας τὸ στόμα καὶ τὴν ἀγωνίαν ἀποβαλών, ὥσπερ τὸ στόμ' ἀνοίξας ἀνέκραγον. εὐαγγελίσασθαι δὲ εὐαγγέλια λέγειν ἀττικῶς. πόλεμος δὲ ὁ Πελοποννησιακὸς δηλονότι. κατερράγη δὲ ἀντὶ τοῦ συνέπεσεν. Ἀφύας.] εἶδος λεπτῶν ἰχθύων ἄγαν. αἷς ὁ πηλὸς γένεσίς ἐστι πάνυ ἰλυώδης ὅταν συστῇ καὶ γένηται μέλας, φύσει τινὶ ἀπορρήτῳ εἰς ζῷα μεταβάλλεται πάμπολλα. οὐδὲν δὲ δέονται τροφῆς. ἀπόχρη γε μὴν ἀλλήλας περιλιχμήσασθαι. ἄγρα γὰρ αὐτῶν εἵματα λεπτά. εἰς δὲ ἄλλων ἰχθύων θήραν ἥκιστον. συμβαίνει δὲ τὴν ἀφύαν τάχιστα ἕψεσθαι. ὅθεν καὶ παροιμία ἀφύα ἐς πῦρ, ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων. ἑνικῶς δὲ Εὔπολις ἐν Ταξιάρχαις εἶπεν ἀφύη. ἐν ἄλλοις δ' ἀεὶ πληθυντικῶς τὰς ἀφύας. λέγεται δὲ καὶ ἀφρὸς διὰ τὴν λευκότητα. ἔστι δὲ ἡ παρὰ πολλῶν λεγομένη ἐγκραυλίς. καὶ ἀφύων τιμὴ τὸ ἔλαιον. ἐπεὶ ἐν αὐτῷ ἕψονται. καὶ ἀφύας Φαληρικὰς τὰς μεγάλας. Φαληρεὺς δὲ λιμὴν τῆς Ἀττικῆς. ἔστι δὲ γένη πλείονα. ἡ μὲν ἀφρῖτις λεγομένη. ἥτις οὐ γίνεται ἀπὸ γόνου, ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ καὶ πηλοῦ ἰλυώδους ὡς ἀνωτέρω ἐρρέθη. ἑτέρα δέ ἐστιν ἡ λεγομένη κωβῖτις. ἡ γίνεται ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ φερομένων κωβιῶν. ἐξ αὐτῆς δὲ ἕτεραι αἱ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη ἥτις ἐστὶ γένος μαινίδων. καὶ ἄλλη ἐκ τῆς μεμβράδος. καὶ ἄλλη ἐκ τῶν μικρῶν κεστρέων. ἔστι δὲ προηγουμένη ἡ ἀφρῖτις. σφόδρα δὲ καὶ μέχρι νῦν παρὰ τοῖς Ἀθηναίοις σπουδάζεται. Ἀξιωτέρας.] εὐωνοτέρας τῆς ἀξίας τιμῆς. ἄξιον παρ' Ἀττικοῖς τὸ εὔωνον. Διεγαλήνισεν.] προσηνῆ καὶ πρᾶα, καὶ ἥμερα ἐγένοντο. τουτέστιν ἐκ τῆς ὀργῆς μετέβαλε καὶ μετηλλάγη. E ἀπὸ δὲ τῶν ἀφύων κυρίως τῷ διεγαλήνισεν ἐχρήσατο. ὅτι ἐμπείρως οἱ Ἀθηναῖοι εἶχον τῆς ναυτικῆς. σκώπτει δὲ αὐτούς, ὡς μικροῖς δελεαζομένους λήμμασιν. Ἐστεφάνουν μ' εὐαγγέλια.] τοὺς γὰρ εὐαγγελιζομένους τι ἀγαθόν, στεφάνοις ἐτίμων.

Bisetus. Ἐστεφάνουν] τινὲς εὐαγγελίῳ γραπτέον νομίζουσιν. ἀλλ' εἰ μὲν γράψῃς εὐαγγέλια, ἔλλειψις ἔσται τῆς διὰ προθέσεως, διὰ τὰ εὐαγγέλια, διὰ τὴν καλὴν κἀγαθὴν ἀγγελίαν. εἰ δὲ εὐαγγελίῳ, ἔσται δοτικὴ ἀπὸ τῆς εὐθείας εὐαγγελία.

F Σχόλια. Ἀπόρρητον.] τὸ ἐν μυστηρίῳ λεγόμενον. οἷον τὸ κεκρυμμένον καὶ ἄγνωστον αὐταῖς ὑποθέμενος, ἵν' ἔχοιεν καὶ τοῦ ἀγοράσειεν. Τῶν δημιουργῶν.] τῶν σκευοποιῶν. τῶν κεραμέων. δημιουργοὺς δὲ ἐκάλουν καὶ τὰς νῦν καλουμένας ὑπονυμφίδας. τουτέστι τὰς παρεστώσας τῇ νύμφῃ γυναῖκας. ὅθεν ἐστὶ καὶ Μενάνδρῳ δημιουργός. κοινῶς δὲ ἔλεγον δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους. ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας. ὡς ἐν Εἰρήνῃ. καὶ δημιουργικῶς, ἀντὶ τοῦ τεχνικῶς. τρύβλια δέ, τὰ ὀξύβαφα. Ἀνεκρότησαν.] ἥσθησάν τε καὶ ἐκρότησαν. G δείγματα δὲ χαρᾶς. ἐκεχήνεσαν δὲ ἀντὶ τοῦ ἔβλεπον ἢ ἐμοὶ προσεῖχον ὑπονοήσας γάρ, ὑποπτεύσας ἢ κατανοήσας τότε καὶ προϊδών. Ἐπὶ συμφοραῖς ἀγαθαῖσιν.] ἐπὶ ἀγαθοῖς πράγμασι. μέσον δὲ ὄνομα, ἡ συμφορά. δηλοῖ γὰρ καὶ τὸ καλὸν καὶ τὸ κακόν, ἐκ τῆς προσθήκης τοῦ ἐπιφερομένου. ὥσπερ οὖν καὶ νῦν προσθεὶς τὸ ἀγαθαῖσιν, οὐκ ἀφῆκεν ἐπὶ τοῦ πονηροῦ νοεῖσθαι.